*ΗΡ.* οὔπω θέμις σοι τῆσδε προσφωνημάτων
κλύειν, πρὶν ἂν θεοῖσι τοῖσι νερτέροις
ἀφαγνίσηται καὶ τρίτον μόλῃ φάος.
ἀλλ' εἴσαγ' εἴσω τήνδε· καὶ δίκαιος ὢν
τὸ λοιπόν, Ἄδμητ', εὐσέβει περὶ ξένους.
καὶ χαῖρ'· ἐγὼ δὲ τὸν προκείμενον πόνον
Σθενέλου τυράννῳ παιδὶ πορσυνῶ μολών.
*ΑΔ.* μεῖνον παρ' ἡμῖν καὶ ξυνέστιος γενοῦ.
*ΗΡ.* αὖθις τόδ' ἔσται, νῦν δ' ἐπείγεσθαί με δεῖ.
*ΑΔ.* ἀλλ' εὐτυχοίης, νόστιμον δ' ἔλθοις ὁδόν.
ἀστοῖς δὲ πάσῃ τ' ἐννέπω τετραρχίᾳ,
χοροὺς ἐπ' ἐσθλαῖς συμφοραῖσιν ἱστάναι
βωμούς τε κνισᾶν βουθύτοισι προστροπαῖς.
νῦν γὰρ μεθηρμόσμεσθα βελτίω βίον
τοῦ πρόσθεν· οὐ γὰρ εὐτυχῶν ἀρνήσομαι.
*ΧΟ.* πολλαὶ μορφαὶ τῶν δαιμονίων,
πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί·
καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη,
τῶν δ' ἀδοκήτων πόρον ηὗρε θεός.
τοιόνδ' ἀπέβη τόδε πρᾶγμα.

---

1150 *τυράννῳ BPL*[1]] *τυράννου aL* | *πορσυνῶ L*] *πορσύνω r* | *μολών S*] *μολῶν r* 1151 *ξυνέστιος S*] *συνέστιος r* 1153 *ὁδόν B*] *δόμον S πόδα a* (*a*[1] in marg. *γρ. δόμον γρ. καὶ ὁδόν*) 1154 *πάσῃ τ' a*] *πᾶσι τ' r* (*πᾶσιν l*) 1155 *συμφοραῖς συνιστάναι a* 1156 *κνισᾶν C*] *κνισσᾶν r* | *προστροπαῖς La*] *προτροπαῖς r* 1157 *μεθηρμόσμεσθα l*] *μεθηρμόμεσθα B μεθηρμόσμεθα r* 1159—63 Cassius Dio 78, 8 cf. Lucian. tragodopod. 325 seqq. 1159—61 Lucian. symp. 48 1159—60 Clemens Alex. strom. VI p. 744 1159 Plutarchus de adul. et am. p. 58 de am. prol. p. 497 Eustath. in Il. p. 239 1160—62 Stobaeus fl. 111, 6 1160 Libanius epist. 1036[b] p. 485 1162 *εὗρε* libri 1163 Eustath. opusc. p. 306, 1 | *τόδε*] *τόδε τὸ B* in fine *τέλος εὐριπίδου ἀλκήστιδος BaP εὐριπίδου ἄλκηστις L*

---

## CORRIGENDA ET ADDENDA.

p. 4 l. 5 not. pro *κασασκευὴν* lege *κατασκευὴν*. — l. 8 not. pro Nanckins l. Nauckius. — v. 70 not. pro *κἄτ'* l. *κᾆτ'*. — v. 219 not. pro *μεγίστα C* l. *μεγίστα B*. — v. 542 not. adde: *παρὰ πταίουσι* Sigfr. Mekler. — v. 795 not. adde: verba *τάσδ' ὑπερβαλὼν τύχας, στεφάνοις πυκασθείς* e vv. 829. 332 huc retracta esse putat S. Mekler.